## 77. THE DEATH OF JOHN THE BAPTIST (Mk-Lk Identicals)

| Mark 6:14-29 | Luke 9:7-9 |
|---|---|
| *Καὶ ἤκουσεν* | *Ἤκουσεν δὲ* |
| *ὁ βασιλεὺς Ἡρῴδης,* | *Ἡρῴδης ὁ τετραάρχης* |
| *φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ,* | *τὰ γινόμενα πάντα,* |
| | *καὶ διηπόρει* |
| *καὶ ἔλεγον ὅτι* | *διὰ τὸ λέγεσθαι ὑπό τινων ὅτι* |
| *Ἰωάννης ὁ βαπτίζων* | *Ἰωάννης* |
| *ἐγήγερται ἐκ νεκρῶν,* | *ἠγέρθη ἐκ νεκρῶν,* |
| *καὶ διὰ τοῦτο* | |
| *ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ.* | |
| *15 ἄλλοι δὲ ἔλεγον ὅτι* | *8 ὑπό τινων δὲ ὅτι* |
| *Ἠλίας ἐστίν·* | *Ἠλίας ἐφάνη,* |
| *ἄλλοι δὲ ἔλεγον ὅτι προφήτης* | *ἄλλων δὲ ὅτι προφήτης τις* |
| *ὡς εἷς τῶν προφητῶν.* | *τῶν ἀρχαίων ἀνέστη.* |
| *16 ἀκούσας δὲ* | |
| *ὁ Ἡρῴδης ἔλεγεν,* | *9 εἶπεν δὲ Ἡρῴδης,* |
| *Ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην,* | *Ἰωάννην ἐγὼ ἀπεκεφάλισα·* |
| *οὗτος ἠγέρθη.* | |
| | *τίς δέ ἐστιν οὗτος* |
| | *περὶ οὗ ἀκούω τοιαῦτα* |
| | *καὶ ἐζήτει ἰδεῖν αὐτόν.* |
| *17 Αὐτὸς γὰρ ὁ Ἡρῴδης* | |
| *ἀποστείλας* | |
| *ἐκράτησεν τὸν Ἰωάννην* | |
| *καὶ ἔδησεν αὐτὸν ἐν φυλακῇ* | |
| *διὰ Ἡρῳδιάδα τὴν γυναῖκα* | |
| *Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ,* | |
| *ὅτι αὐτὴν ἐγάμησεν·* | |
| *18 ἔλεγεν γὰρ ὁ Ἰωάννης τῷ Ἡρῴδῃ* | |
| *ὅτι Οὐκ ἔξεστίν σοι ἔχειν* | |
| *τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.* | |
| *19 ἡ δὲ Ἡρῳδιὰς ἐνεῖχεν αὐτῷ* | |
| *καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι,* | |
| *καὶ οὐκ ἠδύνατο·* | |
| *20 ὁ γὰρ Ἡρῴδης ἐφοβεῖτο τὸν Ἰωάννην,* | |

| Mark 6:14-29 | Luke 9:7-9 |
|---|---|

*εἰδὼς αὐτὸν ἄνδρα δίκαιον*

*καὶ ἅγιον,*

*καὶ συνετήρει αὐτόν, καὶ ἀκούσας αὐτοῦ πολλὰ ἠπόρει, καὶ ἡδέως αὐτοῦ ἤκουεν.*

*21 Καὶ γενομένης ἡμέρας εὐκαίρου*

*ὅτε Ἡρῴδης τοῖς γενεσίοις αὐτοῦ*

*δεῖπνον ἐποίησεν τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ τοῖς χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας,*

*22 καὶ εἰσελθούσης*

*τῆς θυγατρὸς αὐτοῦ Ἡρῳδιάδος*

*καὶ ὀρχησαμένης,*

*ἤρεσεν τῷ Ἡρῴδῃ*

*καὶ τοῖς συνανακειμένοις. εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ, Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοι·*

*23 καὶ ὤμοσεν*

*αὐτῇ*

*πολλά, Ὅ τι ἐάν με αἰτήσῃς δώσω σοι*

*ἕως ἡμίσους τῆς βασιλείας μου.*

*24 καὶ ἐξελθοῦσα εἶπεν*

*τῇ μητρὶ αὐτῆς,*

*Τί αἰτήσωμαι*

*ἡ δὲ εἶπεν, Τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτίζοντος.*

*25 καὶ εἰσελθοῦσα εὐθὺς μετὰ σπουδῆς πρὸς τὸν βασιλέα ᾐτήσατο λέγουσα,*

*Θέλω ἵνα ἐξαυτῆς δῷς μοι*

*ἐπὶ πίνακι τὴν κεφαλὴν*

*Ἰωάννου τοῦ βαπτιστοῦ.*

*26 καὶ περίλυπος γενόμενος*

*ὁ βασιλεὺς*

*διὰ τοὺς ὅρκους*

*καὶ τοὺς ἀνακειμένους*

*οὐκ ἠθέλησεν ἀθετῆσαι αὐτήν·*

| Mark 6:14-29 | Luke 9:7-9 |
|---|---|
| *27 καὶ εὐθὺς ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτορα ἐπέταξεν ἐνέγκαι τὴν κεφαλὴν αὐτοῦ. καὶ ἀπελθὼν* | |
| *ἀπεκεφάλισεν* | |
| *αὐτὸν ἐν τῇ φυλακῃ* | |
| *28 καὶ ἤνεγκεν τὴν κεφαλὴν* | |
| *αὐτοῦ* | |
| *ἐπὶ πίνακι* | |
| *καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ,* | |
| *καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν* | |
| *τῇ μητρὶ αὐτῆς.* | |
| *29 καὶ ἀκούσαντες* | |
| *οἱ μαθηταὶ αὐτοῦ ἦλθον* | |
| *καὶ ἦραν τὸ πτῶμα αὐτοῦ* | |
| *καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ.* | |

32 words out of 352 words = 9%